εἴ τι φλαῦρον εἶδες, αἰτοῦ τῶνδ᾽ ἀποτροπὴν τελεῖν,
τὰ δ᾽ ἀγάθ᾽ ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν
καὶ πόλει φίλοις τε πᾶσι· δεύτερον δὲ χρὴ χοὰς
γῇ τε καὶ φθιτοῖς χέασθαι· πρευμενῶς δ᾽ αἰτοῦ τάδε
σὸν πόσιν Δαρεῖον, ὅνπερ φῂς ἰδεῖν κατ᾽ εὐφρόνην,
ἐσθλά σοι πέμπειν τέκνῳ τε γῆς ἔνερθεν ἐς φάος,
τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχα μαυροῦσθαι σκότῳ.
ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρῄνεσα·
εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι.

ΑΤΟΣΣΑ

ἀλλὰ μὴν εὔνους γ᾽ ὁ πρῶτος τῶνδ᾽ ἐνυπνίων κριτὴς
παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ᾽ ἐκύρωσας φάτιν.
ἐκτελοῖτο δὴ τὰ χρηστά· ταῦτα δ᾽, ὡς ἐφίεσαι,
πάντα θήσομεν θεοῖσι τοῖς τ᾽ ἔνερθε γῆς φίλοις,
εὖτ᾽ ἂν εἰς οἴκους μόλωμεν. κεῖνο δ᾽ ἐκμαθεῖν θέλω,
ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός.

ΧΟΡΟΣ

τῆλε πρὸς δυσμὰς ἄνακτος Ἡλίου φθινασμάτων.

ΑΤΟΣΣΑ

ἀλλὰ μὴν ἵμειρ᾽ ἐμὸς παῖς τήνδε θηρᾶσαι πόλιν.

ΧΟΡΟΣ

πᾶσα γὰρ γένοιτ᾽ ἂν Ἑλλὰς βασιλέως ὑπήκοος.

ΑΤΟΣΣΑ

ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ;

217. λαβεῖν 218. τἀγάθ᾽ 230. κεῖνα

---

217. εἴ τι] ὡς οὐ δεινὰ τεθέασαι. 223. τἄμπαλιν] τὰ δὲ κακὰ τὰ σχεθέντα ὑπὸ τῆς γῆς ἀφανισθῆναι τῷ σκότῳ. 224. θυμόμαντις: οὐ φύσει μάντις, ἀλλ᾽ ὑπὸ λογισμοῦ κρίνων καὶ ὑπὸ ἐνθυμήσεως. 226. ἀλλὰ μὴν εὔνους: ἀντὶ τοῦ σὺ πρῶτος ἀκούσας τοῦ ὀνείρου εὐνοϊκῶς συνεβούλευσας ἐξιλεώσασθαι οὐρανίους καὶ χθονίους δαίμονας. 227. φάτιν] τὸν ὄνειρον. 228. ἐκτελοῖτο δὴ τὰ χρηστά] ἡ ἐξιλέωσις εἰς ἀγαθὸν ἀποβαίη. 232. φθινασμάτων: τῶν λήξεων, τῶν δυσμῶν, ἢ τῶν δύσεων, ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθεν καὶ λὶψ ὁ ἄνεμος ἀπὸ δυσμῶν. 234. πᾶσα] εἰ ληφθείησαν